.......]†παρατης· πλησίον γὰρ τὴν νάπην
......].᾽ ἡμῶν. : (ΣΩ.) Πῶς; :
(ΓΟ.) Λόγον τιν᾽ ἐμβαλῶ
.......]γάμου τῆς κόρης· τὸ τοιοῦτο γὰρ
.......]ν αὐτὸς γενόμενον ἄσμενος.
Pl. 9 Εὐθὺς μαχεῖται πᾶσι λοιδ[ορούμενο]ς
εἰς τοὺς βίους οὓς ζῶσι· σὲ δ[᾽ ἄγοντ᾽ ἂν] ἴδηι
σχολὴν τρυφῶντά τ᾽, οὐδ᾽ ὁρ[ῶν ἀν]έξεται. :
ΣΩΣΤ/ Νῦν ἐστ᾽ ἐκεῖ; :
(ΓΟ.) Μὰ Δί᾽, ἀλλὰ μ[ικρ]ὸν ὕστερον
ἔξεισιν ἣν εἴωθεν. (ΣΩ.) Ὦ τᾶν, τὴν κόρην
ἄγων μεθ᾽ αὑτοῦ, φῄς;: (ΓΟ.) Ὅπως ἂν τοῦτό γε
τύχηι. : (ΣΩ.) Βαδίζειν ⟨εἴμ᾽⟩ ἕτοιμος : οἷ λέγεις. :
᾽Αλλ᾽, ἀντιβολῶ, συναγώνισαί μοι. :
(ΓΟ.) Τίνα τρόπον; :
(ΣΩ.) Ὅντινα τρόπον; Προάγωμεν οἷ λέγεις.: (ΓΟ.) Τί οὖν;
᾽Εργαζομένοις ἡμῖν παρεστήξεις ἔχων